Περίληψις τοῦ περιεχομένου ἑκάστης τῶν Ἐπιστολῶν τοῦ Χιονιάδου.

Ἐπιστολὴ Α'.

ἐπιστολαὶ ἀπουσιάζοντος φίλου παρέχουσι μὲν χαράν τινα, πλὴν
ναι ἐφήμερος καὶ στιγμιαία. Διὸ ὁ Χιονιάδης εὔχεται νὰ συναντηθῇ
ικῶς μετὰ τοῦ φίλου του,

Ἐπιστολὴ Β'.

νὰ ἀναμιμνήσκεταί τις τοὺς φίλους του παρέχει μὲν τέρψιν τινά,
έσως ταύτην παρακολουθεῖ λύπη, «ὅτι ψιλὰ πραγμάτων τὰ τῆς μνή-
ρῆσαν».

Ἐπιστολὴ Γ'.

αὶ ἁπλαῖ προσρήσεις ἐκ μέρους ἀπουσιαζόντων φίλων προερχόμεναι
υσι ψυχαγωγίαν τινά. Πλὴν ὁ «ἀεὶ ῥέων χρόνος» ἐστέρησε τὸν Χ.
της τῆς τέρψεως· ἡ δὲ ἐκ μέρους τοῦ φίλου του δυσεξήγητος
ὸ προκαλεῖ ἀφόρητον δυσφορίαν.

---

(1) **Fontes** κ.τ.λ. σελ. 52. (2) **Fontes** κ.τ.λ. σ. VII.

Ἐπιστολὴ Δ'.

Ὁ Πρεσβευτὴς τοῦ αὐτοκράτορος τῆς Τραπεζοῦντος συναντήσας τὸν Χιονιάδην ἐξέφρασεν αὐτῷ τὸ διαφέρον, τὸ ὁποῖον ὁ φίλος του τρέφει πρὸς αὐτόν. Τοῦτο καθιστᾷ τὸν Χ. ἔξαλλον ἐκ χαρᾶς. Προφανῶς παραλήπτης τῆς ἐπιστολῆς ταύτης εἶναι ὁ Λυκίτης.

Ἐπιστολὴ Ε'.

Ὁ Χιονιάδης χειροτονηθεὶς ἐπίσκοπος Ταυρὲζ γράφει πρὸς τὸν Αὐτοκράτορα Ἀλέξιον Β' τὸν Μεγαλοκομνηνὸν ζητῶν τὴν ἄδειαν, ὅπως μεταβαίνων εἰς τὴν ἕδραν τῆς ἐπαρχίας του διέλθῃ ἐκ Τραπεζοῦντος. Περὶ τῆς ἐπιστολῆς ταύτης ὡμίλησα διὰ μακρῶν ἀνωτέρω.

Ἐπιστολὴ ς'.

Λαβὼν τὴν ζητηθεῖσαν ἔγκρισιν ὁ Χιονιάδης, γράφει εὐχαριστῶν τὸν Αὐτοκράτορα. Ἡ ἐπιστολὴ αὕτη ἐγράφη ἐν Κ)πόλει, οὐχὶ ἐν Ταυρέζ, ὅπως ἐνομίσθη.

Ἐπιστολὴ Ζ'.

Ἀπαντᾷ διαμαρτυρόμενος σφοδρῶς εἰς παράπονα τοῦ Λυκίτου, ὅστις ἐνόμισεν ὅτι ὁ Χ. ἐξέφρασε κατηγορίας κατ' αὐτοῦ.

Ἐπιστολὴ Η'.

Ἡ ἀπουσία τοῦ Λυκίτου τὸν θλίβει ὑπερβολικά. Πλὴν δὲν ἐκφράζει διὰ τὴν σιγήν του παράπονα, διότι γνωρίζει ὅτι ὁ Λυκίτης συνεξεστράτευσε μετὰ τοῦ αὐτοκράτορος τῆς Τραπεζοῦντος ἐναντίον τῶν Τούρκων εἰς Κερασοῦντα.

Ἐπιστολὴ Θ'.

Ἡ ἐπιστολὴ αὕτη ἐγράφη ἐν Ταυρέζ. Ἐν αὐτῇ ὁ Χ. διεκτραγῳδεῖ τὴν ἀθλίαν κατάστασιν, εἰς ἣν περιῆλθεν ἐν τῇ πόλει ἐκείνῃ, τὰ δεινὰ τὰ ὁποῖα ὑφίσταται ἐκ μέρους τῶν ἀλλοφύλων, καὶ θλίβεται, διότι οἱ πολλαπλοῖ κίνδυνοι καὶ τὸ προκεχωρηκὸς γῆρας του τὸν ἐμποδίζουν νὰ μεταβῇ εἰς Κων)πολιν πρὸς προσκύνησιν τοῦ Πατριάρχου.

Ἐπιστολὴ Ι'.

Λυπεῖται, διότι προκειμένου νὰ τελεσθῇ πανήγυρίς τις, αὕτη ἀναβάλλεται διαρκῶς, ἀλλὰ δὲν παρεξηγεῖ τὸ πρᾶγμα γνωρίζων ὅτι ὁ στρατηγός, πρὸς τὸν ὁποῖον γράφει, εἶναι ἀπησχολημένος μὲ τὰς ἀνακτορικὰς ὑποθέσεις.

Ἐπιστολὴ ΙΑ'.

Ἡ τε νηστεία καὶ ἡ κακοκαιρία τὸν ἐμποδίζουν νὰ ἐξέλθῃ τοῦ οἴκου καὶ νὰ μεταβῇ πρὸς ἐπίσκεψιν τοῦ ἀρχιερέως, πρὸς τὸν ὁποῖον γράφει.

Ἐπιστολὴ ΙΒ'.

Περιελθὼν εἰς δυσχερεστάτην οἰκονομικὴν θέσιν, ζητεῖ ὁ Χ. τὴν ἐπικουρίαν τοῦ Λουκίτου ὅσον τὸ δυνατὸν τάχιστα.

Ἐπιστολὴ ΙΓ'.

Ἡ ἐπιστολὴ τοῦ φίλου του (τοῦ Λυκίτου πιθανῶς) τὸν ἐπλήρωσεν ἀγαλλιάσεως. Ὁ φίλος του παρ' ὅλον τὸ κρίσιμον τῶν περιστάσεων ἔδειξε διαφέρον διὰ τὴν κατάστασιν τοῦ Χ.

Ἐπιστολὴ ΙΔ'.

Παραπονεῖται, διότι ὁ φίλος του τὸν ἐλησμόνησεν ἐντελῶς. Ὁ Χ. οὐδεμίαν κατορθώνει νὰ λάβῃ πληροφορίαν περὶ αὐτοῦ. Παρακαλεῖ δὲ αὐτόν, ὅπως τὸν ἐνθυμηθῇ.

Ἐπιστολὴ ΙΕ'.

Ἐξαίρει τὰ πρὸς τὸν πλησίον εὐγενῆ αἰσθήματα τοῦ φίλου του Ἰωάννου, πρὸς τὸν ὁποῖον γράφει, καὶ ἀποδίδει εἰς αὐτὸ τὸ ὅτι εἶναι προσφιλέστατος εἰς τοὺς φίλους του.

Ἐπιστολὴ ΙΣ'.

Ο γράφων διεκτραγῳδεῖ διὰ ζοφερῶν χρωμάτων τὴν ἐν Κ)πόλει κατάστασιν καὶ προβλέπει τὴν πτῶσιν αὐτῆς.

***

Τὰς ἐπιστολὰς τοῦ Γρηγορίου Χιονιάδου ἐξέδωκεν ἤδη ὁ κ. Τρύφων Εὐαγγελίδης ὑπὸ τὸν ἑξῆς τίτλον: «*Δύο Βυζαντινὰ Κείμενα α). Γρηγορίου Χιονιάδου: Ἐπιστολαὶ δεκαὲξ ἐκ κώδικος Βιεννα'ου. β). Βησσαρίωνος: Μονῳδία ἐπὶ τῇ εὐσεβεῖ Δεσποίνῃ Τραπεζοῦντος Κυρᾷ Θεοδώρᾳ τῇ Μεγάλῃ Κομνηνῇ, ἐκ κώδικος τῆς ἐν Βενετίᾳ Μαρκιανῆς Βιβλιοθήκης.* Ἐν Ἑρμουπόλει. 1910. Καίτοι ὅμως ἀμφότεροι ἔχομεν ὑπ' ὄψιν τὸν αὐτὸν κώδικα (Βιενναῖον Θεολογικὸν 203), ἡ παρὰ τοῦ κ. Εὐαγγελίδου γενομένη ἔκδοσις τοῦ κειμένου παρουσιάζει οὐσιώδεις διαφορὰς οὐχὶ μόνον εἰς λέξεις ἀλλὰ καὶ εἰς χωρία ὁλόκληρα. Π. χ. «*τήν γε* **τοῖς** *τῆς σῆς ἀκραιφνοῦς διαθέσεως ἐλλικρίνειαν*». «*διὰ γραμμάτων . . . . . .* **παρεισάξει** *ψιλῶν*». «*ἀνιᾷ* **μακρὰν**» (Ἐπ. Α') «**ἧς** *διαφερόντως ἡδόμεθα*» (Ἐπ. Β') «*καὶ ταῦτα καθ'* **ἕθος** *τῶν πρέσβεων τῆς βασιλείας σου ὠδὶ στελλομένων*» (Ἐπιστ. Ε'). «*τὰ εἰκότα* **ἐπεῖδον**» (Ἐπιστ. Ϛ') οἵας διὰ *τούτων* ὁ . . . . . ἐγὼ» (Ἐπ. Ϛ'). «. . . *ἐπὶ ἐπάλξεων ἀπαράπτωτος τὰς τε ἐναερίας καὶ ὑπεργε ους πτήσεις ἀπομιμούμενος ἀετοῦ ὑψιπέτου*». Τὸ τελευταῖον τοῦτο χωρίον ἐν τῇ Ε' Ἐπ. εὑρισκόμενον ἐγὼ ἀναγινώσκω ὡς ἑξῆς: «. . . *βαίνων ἐπὶ ἐπάλξεων ἀπαράτρωτος, ἀετοῦ ὑψηπέτους τάς τ' ἐναερίους καὶ ὑπεργείους πτήσεις ἀπομιμούμενος*». Σφάλματα δὲ τοῦ κώδικος οὐσιώδη μένουσιν ἀδιόρθωτα. Π. χ. τὸ «*τῷ τῆς* **ἀνοίας** *δνοφερῷ τάφῳ*» διορθωτέον εἰς «*τῷ τῆς ἀνίας δνοφερῷ τάφῳ*», κτλ. Ἡ ἔκδοσις τοῦ κ. Εὐαγγελίδου περιῆλθεν εἰς χεῖράς μου πολὺ ἀργά, μόλις καθ' ὃν χρόνον ἐξετυποῦτο ἡ παροῦσα πραγματεία μου.



Μαρμάρινον ἀνάγλυφον ἐκ τοῦ ἐν Τραπεζοῦντι ναοῦ τῆς ἁγίας Σοφίας εὑρισκόμενον νῦν ἐν τῇ ἐν Θεσσαλονίκῃ Ροτόνδᾳ τοῦ ἁγίου Γεωργίου.

ΤΟ ΚΕΙΜΕΝΟΝ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΤΟΥ ΓΡΗΓΟΡΙΟΥ ΧΙΟΝΙΑΔΟΥ (1)

Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Γρηγορίου τοῦ Χιονιάδου ἐπιστολαί.

Φ. 23[β]

Α'

Οὐδὲν οὕτωσί μοι τῶν ἁπάντων τερπνόν τε καὶ ἥδιον ὡς γράμματα φίλων ἥκοντα τηλόθεν γῆς καὶ τὰ τῆς σφῶν (2) ἡδέως ὑγείας διασημαίνοντα. Ἀλλὰ τὰ σὰ μέν, ὡς εἰκός, νυνὶ ἀνελίττοντός μου, ὁπόση εὐφροσύνη μοι ἐπερρύη, πῶς ἂν ἐν ἐπιστολιμαίῳ μήκει ταύτην ἤδη
5 τρανῶς αὐτὸς παραστήσαιμι; Πλὴν ἀκριβῶς συνίημί σου, ὦ φίλων τριπόθητε, οἷς γράφεις, τὸν εὐσταθῆ λογισμόν, τήν γε τῆς σῆς διαθέσεως εἰλικρίνειαν καὶ ὅπως ἡμᾶς διαπυνθανομένους περὶ ὑμῶν (3) ἀποδέχῃ φιλοτίμως καὶ στέργεις τὰς τοῦ φίλου φωνάς.

Ἀλλ' εὐχόμην αὐτὸς ἔγωγε ὀψέποτε πέρας λαβεῖν τὴν διὰ γραμ-
10 μάτων ἀεὶ μὲν μελετωμένην ψυχαγωγίαν, ἀντεισαχθῆναι (4) δὲ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἡμεῖς καὶ διὰ τῆς ἐμψύχου ἀλλήλοις ξυνῆμεν φωνῆς, τάς θ' ὑπὲρ ἀλλήλων αὐτοψεὶ ἐποιούμεθα πεύσεις. Ταυτὶ γὰρ τὰ συνήθως, ὦ λῷστε, διαπεμπόμενα εἰκόνα μόνον ἄρα ταυτηνὶ ἀμυδρὰν παριστᾷ αἰνιγμάτων, ἥτις εὐφραίνει μὲν αὐθημερὸν εἰσαγομένη,
15 ὅτι διὰ γραμμάτων καὶ μόνον παρεισάγει ψιλῶν ὁμιλοῦντας τοὺς φίλους, ἀνιᾷ δὲ μακρά, οἷς ὡς δι' ἐσόπτρου στηλογραφεῖ (5) ἀμυδρῶς

(1) Ἐν ταῖς ὑποσημειώσεσι τὰς μὲν ὑπ' ἐμοῦ γενομένας διορθώσεις ἔθεσα ἐντὸς ἀγκυλῶν, ἀφῆκα δὲ ἐκτὸς ἀγκυλῶν τὰς λέξεις ὑφ' οἵαν μορφὴν εὑρίσκονται ἐν τῷ κώδικι. Προκειμένου περὶ τῶν πνευμάτων καὶ τῶν τόνων τὰ σφάλματα τοῦ κώδικος, ἐπειδὴ εἶναι πολυπληθῆ, ἐθεώρησα περιττὸν νὰ σημειώσω.

(2) τὰ τῆς σφῶν] τὰς σφῶν.

(3) ὑμῶν] ἡμῶν. (4) ἀντεισαχθῆναι] ἀντισαχθῆναι.

(5) στηλογραφεῖ] στηλογραφεῖς.

τὴν τῶν φίλων ἐμφέρειαν καὶ ἰνδάλματα μόνα οὐδὲν ἧττον αὐτῶν πραγμάτων γυμνά.

Ἐπεὶ δ' ἀλλοίως ὁμιλῆσαι οὐκ ἐφεῖται ἡμῖν, διὰ τοσούτων τετειχισμένοις, κἂν δι' αὐτῶν τούτων τῶν συνήθων ἡμῖν τὰ καθ' ἡμᾶς ἀλλήλοις ἔνδηλα καταστήσαιμεν, ἔστ' ἂν ἧςπερ ἔφην ἡμέρας γενοίμεθα, ἀλλὰ τὰς μεμβράνας ἰδόντες καὶ χερσὶν ἀνελίξαντες τὸν πεπομφότα διαφερόντως ὑπεδεξάμεθα (1) τό τε δῶρον ὡς μέγα τι χρῆμα καὶ πολλοῦ ἄξιον ἐδεξάμεθα.

τοῦ αὐτοῦ.

Φ. 24ᵃ

Β'. Ἡμερῶν μεμνημένος ἐκείνων, αἷς ἀλλήλοις ξυνῆμεν κἀκεῖνα ἡδέως ὡμιλοῦμεν οἷς διαφερόντως ἡδόμεθα κατά γε τὸν ἐντὸς καὶ ἐκτὸς ἄνθρωπον, οὐ μετρίως οἶσω ἄρα τὴν ὑπὲρ σφῶν ἀχθηδόνα. Καὶ γὰρ οὖν ὁπηνίκα καὶ εἰς τὴν ἐκείνων ἥκομεν μνήμην, οἵαις βάλλομαι ἀλγηδόσι δριμείαις πολλοῦ δὴ δέω καὶ λέγειν· καὶ ἥκομεν πολλάκις καὶ οὐχ ἥκισθ' ὅτε τοῦ δευτέρου γεγόναμεν πλοῦ ξὺν ἡδονῇ τε καὶ λύπῃ. Καὶ προηγεῖτο μὲν τὰ τῆς ἡδονῆς ὡς ἂν τὰς τῶν φίλων παρεισάγοντα διὰ μνήμης εἰκόνας, παρείπετο δὲ τὰ τῆς λύπης ὅτι ψιλὰ πραγμάτων τὰ τῆς μνήμης παρῆσαν (2) καὶ παρόμοια ταῦτ' ἦσαν φωναῖς ἀντηχούσαις τὸ ὕστερον, ἃ καὶ μᾶλλον πλέον εἶχετο ἡμῶν αὐτῶν ἢ περ τὰ τῆς ἡδονῆς. Εἰ γὰρ καὶ τῶν προλαβόντων ἡμᾶς ἦρει (3) μνήμη, ἀλλ' οὐ μεῖον ἡ τοῦ μέλλοντος ἠνία παρέκτασις. Πλὴν αἱ ψιλαὶ μὲν μνῆμαι ταῖς ψυχαῖς τῶν ἐραστῶν χρονίως ἐνιζάνουσαι δυσεκνίπτους πάντως τὰς μνείας ἐργάζονται, ὧν πραγμάτων εἰσὶν μνῆμαι. Καί οὐδ' ἂν ὅ,τι γένηται, ῥᾳδίως ἀφίσταταί τις, ὧν ἐνδελεχῶς ἀπομνημονεύει, αἰεὶ παρ' ἑαυτῷ ἀπομνημονεύων (4) τὰ τῆς μνήμης ἀγάλματα, ἀλλ' ἔχεται σφῶν ἀπρίξ, οἷόν περ ἀπὸ κέντρου τῆς μνήμης ἐκτόπως νυσσόμενος.

---

(1) ὑπεδεξάμεθα] ἀπεδεξάμεθα.
(2) παρῆσαν] παρεῖσαν.
(3) ἦρει] ἤρει.
(4) ἀπομνημονεύων] ἀπομνημονεύει.

(ἄνευ τίτλου).

Πάλαι καὶ τὰς προσηγορίας ψιλὰς δεχ μενοι ἐψυχαγωγούμεθα Ι΄.
τρόπον τινά, κἂκ τῆς ἀθυμίας τῶν λογισμῶν ἀνεκτώμεθα καὶ παρεικίζετό μοι τὸ πρᾶγμα κατάλληλογ ὥσπερ εἴ τις δι' ἐσόπτρου τοῖς ἑαυτοῦ καθομιλῶν φίλοις (1) ἐξ ἀποστάσεως ἱκανῆς τὰς σφῶν ἐφαντάζετο ἀμυδρῶς ἐμφερείας, ἴσως ψυχαγωγῶν ἑαυτόν. Ἐπεὶ δ' ὁ ἀεὶ ῥέων χρόνος καὶ τῆσδέ με τῆς ψυχαγωγίας (2) ἀ | πήγαγε, πάμ- Φ. 24ᵇ
πολλα διὰ μέσου κεκινηκώς, καὶ οὔτε ψιλῆς ἀξιούμεθα προσηγορίας, οὔτε διά τινος τρόπου τὰ τῶν φίλων ἐπιγιγνώσκομεν ὅπως ἔχει, θεοῦ πρυτανεύοντος, ἐπιεικῶς δυσχεραίνομεν δι' αὐτὸ τοῦτο μὴ οἴσοντες τὴν τοσαύτην εὐπετῶς δυσφορίαν, ἀφ' ἧς οὐχ ἥκιστα κινδυνεύομεν ἄλλα δι' ἄλλων ὑπονοεῖν καὶ λογισμοῖς περιπίπτειν, οὓς οὐχ οἷοί τ' ἐσμὲν ῥητῶς ἐξειπεῖν, τὰς τῶν φίλων γνώμας καθάπαξ εἰδότες. Ἀλλὰ λύσατέ μου ἤδη τὴν σιωπήν, ρωσθεῖσαν, οὐκ οἶδ (3) ὅπως ἐπὶ πολύ· ἐξ ὧν γὰρ ῥᾴους γινόμενοι τά τε τῆς ὑγείας ὑμῶν εὐαγγέλια καὶ ἡμεῖς πιστούμενοι, μὴ σφόδρα ἀνιαθῶμεν, κάμνοντες οὕτω φροντίσι παμπόλλαις.

(ἄνευ τίτλου).

Ἐγὼ τὰς μὲν ἡμέρας ἐκείνας ἀμείνους τῶν ἄλλων ἡγοῦμαι, Δ΄.
ἐκείνας δὴ λέγω, αἷς ἐνετρύφων (4) ξυνομιλῶν τῇ σῇ εὐγενείᾳ καὶ λογιότητι τὴν θαυμασίαν ἠλλοιούμην ἀλλοίωσιν καὶ καινοπρεπῆ τινα ἕξων ζωήν, ὁσημέραι ἀνακαινούμενος· ἀλλὰ τίς σου τὰς σειρῆνας τῶν λόγων παρελθὼν ἔμεινεν ἄτρωτος τὴν ψυχὴν καὶ οὐ πάσχει διὰ παντός, ἀφῃρημένος τοιούτου καλοῦ, οἷόν περ καὐτὸς πάσχω διὰ πάσης ἡμέρας, τῆς ἐκείνων χάριτος ἐπιεικῶς γεγευμένος, τῷ τε σφῶν κάλλει καθάπαξ ἀπειλημμένος ; ἐντεῦθεν πλεόνων μοι ἀγαθῶν παρεκτικὴ γέγονεν ἡ ἀλλοδαπή, οὐδὲν ἧττον αὐτῆς τῆς ἐνεγκαμένης παρὰ τοιᾶσδε ψυχῆς εὐγενοῦς τε καὶ θεσπεσίας, τὰ κάλλιστα ἐνηχουμένῳ καὶ δέοντα. Καὶ γὰρ οὖν οὐ σιωπήσομαι διαφερόντως τὰ σὰ ἐξυμνεῖν, κἂν ὅποι τυγχάνοιμι γῆς· ταύτῃ τοι καὶ παμπόλλους (5) ἐραστὰς κἂκ μόνης |

---

(1) φίλοις] φίλεις.
(2) τῆς ψυχαγωγίας ἀπήγαγε] τῆς ψυχῆς ἡ ἀπήγαγε.
(3) οἶδα] εἶδα.
(4) ἐνετρύφων] ἐνετρύφουν.
(5) παμπόλλους] παμπόλους.

Φ. 25ᵃ | ψιλῆς φωνῆς εἴργασμαι τῆς σῆς ἀγχινοίας καὶ ἀξιυμνήτου σοφίας, οἳ καὶ εἰς τοσοῦτον μὲν ἦκον ἔρωτος, ὡς ἐπιλιπεῖν (1) μὲν σχεδὸν σφᾶς αὐτοὺς τὴν σφετέραν, (2) γενέσθαι δὲ τῆς ἀλλοδαπῆς καὶ τῆς σῆς ἀξιωθῆναι μεγαλοπρεποῦς ὁμιλίας. Πῶς γὰρ οἴει με διατεθεῖσθαι νυνί, ἀγχινούστατε καὶ σοφώτατε, ἄρτι τῷ ἐκ βασιλέως μεγίλου ἀδοκήτως πρέσβει παριτυχόντα φήμας ἀγαθὰς διακομίζοντι, μᾶλλον δ' εὐαγγέλια, ἃ καὶ δι' εὐχῆς μοι παρῆν ἀκούειν (3) καὶ ἤσθην μακρὰ ὑπὲρ σοῦ μοι δηλαδὴ τῆς μεγαλόφρονος κορυφῆς μνήμην ἡμῶν ποιουμένης καὶ συνήθους προσηγορίας ἀξιούσης ἀποχρώντως. Καὶ γὰρ ἀπὸ τοιοῦδε ἀνδρὸς τοιάδε ἀκηκοότος μου καὶ οὐχ ἥκιστα ἐν τοιῷδε καιρῷ, ὅτε καὶ ἀπὸ ψιλῆς μνήμης μόνης ῥᾷον ἀνακτᾶται ψυχὴ κάτω βρίθουσα καὶ ἀνιαροῖς καθ' ἑκάστην προσπαλαίουσα λογισμοῖς, εὐθὺς ἐλύετό μοι καὶ παραχρῆμα τὰ σκυθρωπὰ ἐκ περιχαρείας ἀφάτου, τὸ γ' ἐπιπροσθοῦν τὸν αὐτοκράτορα λογισμὸν νέφος ἀθρόως ᾤχετο σκεδασθέν, στέξαι τὴν θέρμην οὐχ οἷόν τε ἦν ἀγαλλομένης ψυχῆς κἀκτόπως σφυζούσης ἐξ εὐθυμίας καὶ εὐφροσύνης εὐλόγου. Ἀλλ' ἐμοὶ μὲν ὁ βίος ἀντ' ἐλέγχου παντὸς ἀπόχρη γε πάντως καὶ οὐ δέομαι μαρτύρων παντάπασιν. Καὶ αὐτάρκης ἐστὶν ὁ
Φ. 25ᵇ ἐπὶ τιμῶν μὴ μέγα φρονῶν (4) καὶ ὑπὲρ τὰ μέτρα αἰτῶν· (5) | οὐ γὰρ ἀγνοοῦμεν τὸ τῶν ἔργων ἡμῶν μολιβοῦν μέτρον, κἄν, τῇ συνηθείᾳ τῶν πολλῶν ἑπόμενοι, ἐντυγχάνοιμεν ὑπὲρ ὧν μὴ δεώμεθα τῇ πάντων κηδομένῃ προνοίᾳ Θεοῦ. Πλὴν δ' οὖν ἔχεις καὶ ἡμᾶς αὐτοὺς ὑπόχρεως (6) ἀλλὰ καὶ ἕξεις συναριθμίους τῷ χορῷ τῶν ὑπὲρ σοῦ λιπαρούντων τὸ θεῖον, εἰ καὶ τὸν ἔσχατον διὰ μοχθηρίαν τρόπου κατειλήφαμεν χῶρον.

Τοῦτο ἤδη προστάξαντός σου, ὡς ἀκηκόαμεν, καὶ μετριοπαθῶς ἐπινεύσαντος, καὶ γὰρ ἔφειται πᾶσιν ἡμῖν ὥσπερ τι ἀπαραίτητον χρέος, κἄν ὁ βίος οὐ συντρέχει ταῖς εὐτυχίαις, ὑπὲρ ὁπάντων . . .(7) (εὔχεσθαι) ἀνδρῶν ἐραστῶν τοῦ καλοῦ καὶ πράξει καὶ λόγῳ τῶν πρεσβείων μετειληφότων, Παύλου κανόνι στοιχοῦσι μετὰ Τιμόθεον. Εἰ οὖν καὐτὸς εἷς τυγχάνεις . , . (8) τοῦ ἀξιαγάστου τοῦδε χοροῦ, κἂν τῇ καθάπαξ . . . (9) διὰ φιλοσοφίας τὸν βίον εὐδαιμονήσας (10) ἐπιεικῶς δεῖν τῶν ἴσων ἐκείνοις ἀντιτυχεῖν καὶ ἐγκωμίων ἀξιοῦσθαι πολλῶν.

---

(1) ἐπιλιπεῖν] ἐπιλειπεῖν. (2) σφετέραν] σφαιτέραν. (3) ἀκούειν] ἀκοοα.
(4) φρονῶν] φρονεῖν. (5) αἰτῶν] αἰτεῖν. (6) ὑπόχρεως] ὑπόχρεω.
(7) Χάσμα. (8) Χάσμα. (9) Χάσμα. (10) εὐδαιμονήσαις) εὐδαιμονίσαις.

Τοῦ αὐτοῦ πρὸς τὸν τρισμασκάριστον καὶ τρισαλκιμώτατον ἐκεῖνον Κύριον Ἀλέξιον βασιλέα τὸν Μέγαν Κομνηνόν.

Ἡλιοειδέστατε βασιλεῦ, ἡ τὰ πάντα διεξάγουσα καὶ διακρατοῦσα Ε'.
εἰδοποιὸς (1) καὶ παντοκρατορικὴ δεξιὰ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἴη διαφρουροῦ | σα τὴν βασιλείαν Φ. 26α
σου, σκέπουσα, περιέπουσα ἐπὶ χρόνους μακραίωνας καὶ ἀνωτέραν
δείξειε πάσης ἐναντίας ἐπιβουλῆς τῶν τε ὁρατῶν καὶ ἀοράτων
ἐχθρῶν καὶ ἔσει (2) διὰ παντὸς ἀσφαλῶς βαίνων ἐπὶ ἐπάλξεων ἀπαράτρωτος, ἀετοῦ ὑψιπέτου (3) τάς τ' ἐναερίους καὶ ὑπεργείους πτήσεις ἀπομιμούμενος. Καὶ γὰρ τουτὶ δι' ἐφέσεως καὶ εὐχῆς ἀενάου (4)
ἡμῖν καθέστηκεν καὶ ὁρᾶν καὶ ἀκούειν διηνεκῶς κἂν ὅποι παρείημεν
γῆς καὶ τελοῖμεν (5) τὴν φυσικὴν τρέφοντες εὔνοιαν. Ἀλλ' ἤδη χρόνος
μετὰ τὸν τρίτον συμπαριππεύει καὶ τέταρτος καὶ γραφὴν βασίλειον
οὐδαμῶς ἐξεγένετο ἡμῖν δέξασθαι καὶ εὐνοϊκῶς ἀναπτύξαι, ὡς ἂν ἐκ
τοῦ πολλοῦ βάρους καὶ αὖ συνήθως ἀνεκτώμεθα, καὶ ταῦτα κατ' ἔτος
τῶν πρέσβεων τῆς βασιλείας σου ὡδὶ στελλομένων πρὸς τὸν θειότατον
αὐτοκράτορα. Καὶ οἶομαι ὡς, εἰ μὴ ἠπάτημαι, ὡς ὁ παρεληλυθὼς χρόνος καθάπαξ παρέστησεν, ὅπως διὰ παντὸς τοῦ χρόνου εὐνοϊκῶς
προσήμην τῷ κράτει τῆς βασιλείας σου, ἐκεῖθεν τὴν τῶν προγόνων
φυσικὴν εὔνοιαν ἀποσώζων ἀκριβῶς, ἐντεῦθεν κἂν ταῖς ἀποδημίαις
ὤμην δέξασθαι πλείονα τῶν προτέρων. Ὅπως τουτὶ δ' ἐγίγνετο καὶ
διὰ τοσούτων οὐκ ἀξιοῦμαι γραμμάτων τῆς βασιλείας σου, | παντάπα- Φ. 26β
σιν ἀγνοῶ τὴν αἰτίαν. Ὅμως εἴτε τούτων οὐκ ἀξιούμεθα, εἴτε μὴν
ἐπιτύχοιμεν, τὰ ὀφειλόμενα (6) καὶ εἰπεῖν καὶ νοεῖν ὑπὲρ τοῦ κράτους
σου (οὐκ) ἐνελείπομεν (7), πολλοῦ γε καὶ δεῖ, οὐδ' ὡς τὸ εἰκὸς ἠμελήσαμεν, ὧν μὴ ἔδει ἀμνημονεῖν. Πλὴν ἀλλ' ἐπειδὴ πρόκειται ἡμῖν καὶ αὖθις
τῶν προτέρων ἀγώνων ἐπιλαβέσθαι βασιλικῇ προτροπῇ καὶ συνοδικῇ
μετ' ἀρχιερατικοῦ ἀξιώματος καὶ πρὸς συνεήρησιν τῶν ἐκεῖσε εὑρισκο-

(1) εἰδοποιὸς]. (2) ἔσει] ἔση. (3) ὑψιπέτου] ὑψηπέτους.
(4) ἀενάου] ἀενναόου. (5) τελοῖμεν] τελείημεν.
(6) τὰ ὀφειλόμενα] τὰ φειλόμενα. (7) ἐνελείπομεν] ἐνελλείπομεν.

μένων χριστιανῶν (1) καὶ ἐπισκόπησιν (2) ἐξελθεῖν κατὰ τὴν πόλιν φημὶ
τοῦ Ταυρέζ, ἐν ᾗ καὶ ἐπικέκλημαι εὐδοκίᾳ τοῦ παναγίου καὶ ζωοποιοῦ
πνεύματος καὶ βούλομαι καὶ μᾶλλον σκοπός μοί ἐστι πρὸ πολλοῦ, ὡς
ἵνα διέλθω ἐκ τῶν αὐτόθι καὶ προσκυνήσω καὶ τὴν βασιλείαν σου 30
καὶ ἐπεύξομαι ταύτῃ ὅσα λυσιτελῆ καὶ συμφέροντα καὶ οὕτως ἀνέλθω
πρὸς τὸν τεταγμένον μοι τῆς ἐπισκοπῆς θρόνον. Καὶ εἰ μὲν δοκοίη (3)
καὶ τοῦτο καὶ ἀποδέχεται καὶ ἡ βασιλεία σου, ὅτι ἵνα ἔλθω, ἄς σε
ὁδηγῇ ὁ θεός, ἵνα δέξωμαι (4) τούτου (5) καὶ διὰ προστάγματος · τῆς
βασιλείας σου πληροφορίαν. Ὅτι ἐκ θεοῦ οἶδεν ἡ βασιλεία σου, ὅτι, 34
ἄν ἀναβῶ εἰς τὸν τύπον ἐκεῖνον, καλὸν δοῦλον καὶ πάλιν μέλλεις ἔξειν
Χριστοῦ τοῦ θεοῦ χάριτι, (6) ἐπεὶ καὶ αἱ δουλοσύναι μου αἱ πρώην,
ὡς δοκῶ, οὐκ ἦσαν ἀδόκιμοι εἰς τὴν βασιλείαν σου. Καὶ πάλιν ὡς
Φ. 27ᵃ ἐλπίζω, ἵνα γένωνται | καὶ εὐδοκιμώτεραι, (7) ἐπεὶ καὶ εἰς τὸ σχῆμα
τὸ τοιοῦτον ἅγιον κατηντήσαμεν καὶ πεφθάκαμεν. Ὁ θεὸς ὁ ἅγιος,
ἵνα με ἀξιώσοι προσκυνῆσαι καὶ ἐπεύξασθαί τῇ βασιλείᾳ σου.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν βασιλέα.

ϛ′. Μόλις ὀψέποτε καὶ μετὰ τοσούσδε κύκλους ἡλίων, ἡλιοειδέστατε
ἄναξ καὶ τῷ ὄντι διὰ πάντων φαεινότατε καὶ λαμπρότατε, θεῖον ἀνει-
λιξάμεθα (8) γράμμα καὶ ἀνακτορικὰς ἀνεπτύξαμεν συλλαβὰς πλείστας,
οἷσοντες ἐπ' ἐλπίδι καὶ κατ' ἐνιαυτοὺς τοιῶνδε φάκελον (9) προσδο-
κῶντες, ἅπερ ἐπειδὴ ἐξαπίνης ἐθεασάμην, εὐθὺς γεγωνὸν ἐφθεγ- 5
ξάμην, οἵας διὰ τοσούτων ὁ βαρυπενθὴς ἐγὼ ἐστέρημαι βασιλείου αὐ-
δῆς, κἄπειτα ταυτὶ καὶ χείλεσι κατησπαζόμην αὐτοῖς καὶ δεόντως τὰ
δέοντα σφίσιν ἀφωσιούμην (10) καὶ χερσὶν ἁπρὶξ τῆς δωρεᾶς εἰχόμην
καὶ ὡς ἑρμαίῳ τῶν παραδόξων τινὶ αὐτοῖς προσεκείμην καὶ διὰ παντὸς
οἷς τ' ἔδρων καὶ ἐπεποιήμην τὸν ἐμὸν φεραυγῆ φωσφόρον καὶ αὐτό- 10
χρημα ἥλιον ἐφανταζόμην ἐπ' ὄψεσι, τά τε εἰκότα ἐπῇδον καὶ ὁπόσα
σχεδὸν τῷ καιρῷ ἐσχεδίαζον (11) καὶ καθηκόντως ἐπευφήμουν καὶ

---

(1) χριστιανῶν] χρηστιανῶν. (2) ἐπισκόπησιν] ἐπισκόπισιν.
(3) δοκοίη] δοκείη. (4) ἵνα δέξωμαι] ἵνα δέξομαι. (5) τούτου] τοῦτο.
(6) χάριτι] χάριτη. (7) εὐδοκιμώτεραι] εὐδοκιμότεροι.
(8) ἀνειλιξάμεθα] ἀνελιξάμεθα. (9) φάκελον] φάκελλον.
(10) ἀφωσιούμην] ἀφωσιέμην. (11) ἐσχεδίαζον] ἐσχεδίαζε.

ὥσπερ ἐν ἐσόπτρῳ καλῷ τε καὶ διαυγεῖ αὐτὸν ἐκεῖνον τὸν βριαρόχειρα καὶ ἀλκιμώτατον ἄνακτα καθ' ὕπαρ ἐδόκουν ὁρᾶν καὶ ἁσμένως περιδεδράχθαι καὶ σὺν εὐφήμοις φωναῖς ἐξυμνεῖν, ἔστι δ' ὅποι καὶ δάκρυα ἡμῶν ἀπέρρει τῶν ὀφθαλμῶν, ἡμερῶν | ἀναμιμνη- Φ. 27β
σκομένων ἀρχαίων καὶ ξυναυλίας ἐκείνης, ἧς οὐδ' ὁ τοσοῦτος χρόνος τὴν θέρμην ἀπέσβεσε οὐδὲ τὸ παράπαν ἐμάρανε, διὰ μνήμης συχνῆς οὕτω κινούμενος καὶ περιειλούμενος. Ἐπειδὰν δὲ καὶ τοσαῦτα μὲν εἰπεῖν τοῦ καιροῦ τῆς τε κατεπειγούσης νυνὶ χρείας, ἐπειδὰν δὲ καὶ πλέω οὐχ ἧττον εἰπεῖν παράσχοι θεός, τὰ ἡμέτερσ ὕπερθεν ἐφορῶν, κρίμασιν ἀρρήτοις οἷς οἶδεν αὐτός, τότε ἂν ἄρα ὁ ἐμὸς ἐπίδοι (1) βασιλικώτατος καὶ τρισαλκιμώτατος γίγας καὶ διὰ πάντων οἷς ἐποίησε καὶ ποιεῖ ἀνδρικώτατος ἄναξ, οἷος καὶ Νέστωρ ἐστὶ μετὰ γῆρας, ὑπὲρ τῶν σῶν ἐγκωμίων καὶ μεγαλοφυῶν ἐπαίνων ἀγωνιζόμενος. Ἀλλ' ἴδοιεν καὶ τὸν παραινοῦντα ἡμῖν ἐν τοῖς γράμμασιν ἄνακτα, μᾶλλον δὲ παρασκευάζοντα καὶ προπέμποντα πρὸς τὴν προκειμένην ὁδὸν τοῦ εὐαγγελίου καὶ οἱ ὀφθαλμοὶ τελεώτερον ὥσπερ ἤκουσε καὶ τὸ οὗς θαυμαστοῦ ἀπηχήματος καὶ ἀμφοῖν ἀλλήλους δεξιούσθωσαν ὅλως νικητήν, τροπαιοῦχον κατὰ πάσης ἀρχῆς βαρβαρικῆς τὰ νικητήρια φέροντα καὶ ἡμῖν αὐτοῖς γε οὐκ ἐκ τῶν παλαιῶν μόνον διηγούμενον τὰ πανάριστα ἀλλὰ καὶ πλείω καὶ νέα καὶ τοῖς προγεγενημένοις καὶ ἀκουσθεῖσι παρόμοια, καὶ ὧν πολλάκις ἔγωγε συγγραφεύς τε καὶ ἴστωρ | ἐσπούδασα γενέσθαι τε καὶ ἀκοῦσαι προθυμότατός τε Φ. 28α
καὶ σπουδαιότατος. Ὁ πανάγαθος Κύριος εἴη διαφρουρῶν τὸ κράτος τῆς θεοπαρόχου βασιλείας σου.

Τοῦ αὐτοῦ ἐπιστολὴ πεμφθεῖσα ἐκ τῆς εὐδαίμονος Κωνσταντινουπόλεως πρὸς τὸν πρωτονοτάριον καὶ πρωτοβεστιάριον κύριον Κωνσταντῖνον τὸν Λυκίτην ἐν Τραπεζοῦντι τῇ καλλίστῃ.

Ἐγκαλεῖς ἡμῖν δῆθεν διαλοιδορουμένοις σοι καὶ κακηγορήσασι Ζ°.
καὶ τοῦθ' ὡς χρὴ οὐχ ὁμολόγησας μέν, οὐκ ἔκρυψας δέ, καὶ ταῦτα παρὰ φίλῳ γνησίῳ τῷ καλλίστῳ φημὶ Δερμοκαΐτῃ. Ἐντεῦθεν καὶ διαφερόντως θαυμάζω καὶ σφόδρα ἐκπλήττομαι πῶς ἐπὶ τοσοῦτον

(1) ἐπίδοι] ἐπίδει.

ἰσχύει διαβολή, πλάττουσα τοιάδε, ἃ μηδείς ποτε τὸ παράπαν (1) ἐν νῷ σκιαγραφεῖ καὶ διατυποῖ. Πίστευσόν μοι ἀποφαινομένῳ καὶ ἀληθεύοντι ὡς οὐδέποτε γλῶτταν κεκίνηκα κατὰ σοῦ ἢ ἐφ' ὕβριν ταύτην ἐφωπλισάμην. Εἰ δὲ καί τινες Ἀμμανῖται ἢ Μωαβῖται, οἳ καὶ τὰ τῆς συνειδήσεως πεπατῆσθαι σφῶν διὰ φροντίδος οὐκ ἔχοντες, οἷς ἅπας ἀποκέκλεισται (2) καὶ ἱερὸς σηκὸς καὶ περίβολος, μῶμόν τινα ὡς ἔοικε προσετρίψαντό σοι, ὑποδύντες ὀνόματι ὡς προσχήματι τῷ ἐμῷ, χρῆν σε παραχρῆμα διεγνωκέναι τὸ ἄτοπον καὶ ὡς
Φ. 28β τάχος συνιέναι καὶ εἰδέναι τὴν τῆς δολίας (3) γλώττης | ἁπλησταίαν καὶ δολιότητα καὶ μὴ οὕτω καταιτιᾶσθαι τῶν παντάπασιν ἀναιτίων ἁπλῶς τῶν τε μηδὲ ἐν ὀνείροις δόξαι αὐτοῖς τῶν σῶν ποτε κατα-ψηφισαμένων ἢ ἐπεξειργασμένων (4) καὶ μέχρις ἰνδάλματος ἀμυδροτάτου. Ἀλλ' ἔχου τοίνυν καὶ αὖ τῶν προτέρων καὶ τοὺς σαφεῖς λήρους ἔα φθινύθειν Ὁμήρῳ (5) πειθόμενος καὶ ἐπὶ τὰ πρόσω ἐπεκτείνου ἀτρέστως τῶν ὄπισθεν διαβολῶν ἐκτόπως ἐπιλαθόμενος. Εἴ γε δὴ καὶ ἐρεῖς: (6) οἱ δ' ἡμᾶς ἐκταράσσοντες ὡς Παύλῳ, τῷ θείῳ δοκεῖ βαστάσουσι τὸ κρῖμα οἷοι ἂν καί εἶεν; ὡς δ' ἐγῷμαι καὶ λόγον ὑφέξουσιν οἱ τοιοῦτοι καὶ πρὸ τοῦ τὴν κυρίαν ἐπιστῆναι τῆς ἐλπιζομένης ἐτάσεως, ὑπὲρ ὧν ἡμᾶς διαβεβληκότες οὐκ ὤκνησαν καὶ τουτὶ πιστευτέον καὶ ἀναμφηρίστως οὐκ ἀπιστητέον. (7) Ἔρρωσο, ἔρρωσο, ἔρρωσο.

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἀποδημοῦντα μετὰ τοῦ βασιλέως ἐν τῇ Κερασοῦντι ἐν τῷ πρὸς τοὺς ἐκεῖσε Ἰσμαηλίτας πολέμῳ.

Η'. Εἰ γὰρ κατὰ τῶν τῆς Ἄγαρ σκυλάκων οὐκ ἐξῄεις (8) τῶν ὧδε ὁπλοφορῶν καὶ συμπαρομαρτῶν τῷ τρισευγενεῖ βασιλεῖ ὡς τῆς συγκλήτου βουλῆς ὁ περίβλεπτος τῶν τε ἄλλων ἁπάντων δαημονέστατος, τραγικωτέραν πάντως καὶ τὴν ἐπιστολὴν διεχάραξα ἂν σοὶ τῇ τριποθήτῳ μοι καὶ χρυσῇ κορυφῇ, ἐπεὶ μήτε τὸν παρακαλοῦντά με λογικῶς κέκτημαι μήτε τὸν συλλυποῦμενον εὑρίσκω ὑπὸ τῷ τῶν λογισμῶν ρο-

---

(1) τὸ παράπαν] τῷ παράπαν.
(2) ἀποκέκλεισται] ἀποκέκλισται. (3) δολίας] δολείας.
(4) ἐπεξειργασμένων] ἐπεξεργασμένων. (5) Ὁμήρῳ] Ὁμείρῳ.
(6) ἐρεῖς] αἴρει (7) ἀπιστητέον] ἀπιστέον. (8) ἐξῄεις] ἐξήεις.

θίῳ περικλυζόμενος. Ἀλλ' ἔγωγέ σε καθ' | ἑκάστην ἐγκόλπιον κε- Φ. 29ᵃ
κτημένος, οὐδαμόσε τὴν τῆς νῦν διαστάσεως οὐδ' ἄχρι καὶ ὀνείρων αὐτῶν ἔμπικρον ἀθυμίαν τὸ παράπαν ἐφανταζόμην, ἐδαπανᾶτο γὰρ ἥδε ταῖς πυκναῖς ὁσημέραι ξυνουσίαις ἐκείναις καὶ λογικαῖς ξυναυλίαις, αἵ με καὶ μᾶλλον πρὸς πλείονα τὸν πόθον εἵλκον τῆς σῆς ἀγχινοίας. Καὶ γὰρ οὐχ οἷόν τέ μοι φάναι ὁπόση μοι ἀπετίκτετο εὐφροσύνη τοιῷδ' ἀνδρὶ κεχαρισμένῳ καὶ οὐδὲν ἧττον συγκεκροτημένῳ ἐξ ἁπάντων τῶν ὅ, τι τερπνῶν, ἀνά, ὡς εἰπεῖν, τὴν ἡμέραν ἐλευθερίως τε καὶ ἁπλάστως καθομιλοῦντι καὶ φιλοτίμως ἄγαν συνευφραινομένῳ, πῇ μὲν ἡμῖν(1) μελιχρῶς κατεπᾴδοντι, πῇ δὲ λογικῶς τε καὶ θαυμασίως τοὺς πόνους ἐπικουφίζοντι. Καὶ γὰρ τὸ ξυγκεκραμένον (2) τῆς ξενοπρεποῦς ὁμιλίας σου, φίλη τε καὶ ἀγχινουστάτη μοι κεφαλή, ὑπὲρ παντὸς ἄλλου τιμαλφεστάτου χρήματος καὶ τιμίου ὄντως ἦν εὐγενέστερον καὶ ἡδίων (3) μέλιτος ἡ αὐδή. Τῶν γὰρ πληγῶν μου τὰ ἔμπλαστρα, ἰατρικῶς εἰπεῖν, τά γε φάρμακα τῆς ἐμῆς ἀναλήψεως οἱ ζωτικοί σου ἐκ πλείονος ἄρα παρῆσαν μοι λόγοι. Καὶ πῶς ἂν ἰκτεριῶσί τε καὶ ἀπείροις σίμβλων ἡδονὴν διηγήσομαι; (4) οὐκοῦν καὶ αὖθις ὡς τάχος ἀξιωθείημεν ἐντρυφῶντες παραδόξως τῷ τῆς ἐμῆς ἀλέξεως μέλιτι. Ἆρά γε οὐ δι' αὐτὰ ταῦτα πλήρη τραγῳδίας τἀμά ; οὐ μεστὰ κατηφείας ; καὶ πῶς γὰρ οὔ; Ἀλλ' ἐπαναζεύ | ξαις τῷ κρατοῦντι συμπαραθέοντι, εὔθυμος, χα- Φ. 29ᵇ
ρίεις, ἡδύς, πλήρης λαφύρων εἰρηνικῶν, πλήρης, ἰὺγγων, αἷς ἐκεκόσμησο, ὁπηνίκα καὶ μεθ' ἡμῶν τῶν συνήθων σοι τὰς διατριβὰς ἐποιοῦ σὺν ἀφάτῳ τέρψει καὶ χάριτι. Ὁ θεὸς ὁ ἅγιος ἀκίνδυνον τηρήσαι σε ἀπὸ παντοίων δυσχερῶν συμπτωμάτων.

Τοῦ σοφωτάτου κυρίου Γρηγορίου τοῦ Χιονιάδου Ἐπιστολαὶ εἰς Πατριάρχην.

Τὰ ζωοποιὰ καὶ σωτήρια γράμματα τῆς σῆς κοσμολαμποῦς καὶ Θ'.
ἀποστολικῆς ὑποθήκης, κοσμολαμπέστατε Φωστὴρ καὶ Παναγιώτατε Δέσποτα, ἤδη καταπτάντα κἀν τοῖς καθ' ἡμᾶς, τῷ σφῶν ζωοποιῷ ἐμφυσήματι καινοπρεπῶς ἡμᾶς αὐτοὺς ἀνεκτήσατο καὶ ἐζωοποίησε καὶ ἐκτόπως μετεστοιχείωσε πρός τε τὸ εὔθυμον καὶ εὐφρόσυνον ἐπανήγαγε, πάλαι τῷ τῆς ἀνίας (5) δνοφερῷ ἐναπειλημμένους τάφῳ, νεκροὺς

(1) ἡμῖν] ἡμεῖν (2) συγγεκραμένον] συγγκεκραμμένον.
(3) ἡδίων] ἡδίω. (4) διηγήσομαι] διηγήσωμαι (5) ἀνίας] ἀνοίας.

τε τρόπον τινὰ οὐ τετραημέρους, ἀλλὰ χρονίους ὄντας καὶ ὀδωδότας. Καὶ πῶς γὰρ οὐκ ἐμέλλομεν τοιαῦθ' ὑποίσειν καὶ ὡς εἰκὸς πάσχειν οἱ τῆς σῆς ἁγιοπρεποῦς ξυνουσίας καὶ θεοπρεποῦς παρουσίας πόρρω που ὄντες ἀπῳκισμένοι καὶ οὔθ' ἁγιαστικῆς ὁμιλίας, οὔτε συνελεύσεως νενομισμένης ἠξιωμένοι ; Ταύτῃ τοι καὶ ἀσχάλλων καὶ σκυθρωπάζων
Φ. 30ᵃ | ἀλλεπαλλήλοις προσεπάλαιον λογισμοῖς καὶ οἷον φάναι ἀβίωτον μὲν ἡγούμην τὸν βίον καὶ ἐν τριόδῳ, τὸ τῆς παροιμίας εἰπεῖν, ὧδε παρήμην. Ἐμακάριζον δ' ὅσῶσαι καὶ συνεχέστερον εὐδαιμόνιζον αὐτοὺς δὴ τούτους τοὺς μᾶλλον τῆς σῆς θεοπρεποῦς ἐντυχίας καὶ πανολβίου προσεδρίας εὐμοιρηκότας. Ἐπεὶ δὲ καὶ εἰκαίρως αὐτὰ ταῦτα τὰ τιμιώτατα καὶ μετ' εὐλαβείας τῆς πρσηκούσης, οἷς ἐνέδει ὑπανεγνώσθη καὶ ὁ τουτωνὶ θεῖος νοῦς τὰς τοῦ χριστωνύμου (1) ἐπλήρωσε λαοῦ ἀκοάς, ὁπόσης μὲν εὐφροσύνης ἀπολελαύκαμεν, οἷοι δὲ ἐξ οἵων γεγόναμεν τίς ἱκανὸς διηγήσασθαι καὶ εἰς ἐνάργειαν ἀγαγεῖν; Καὶ γὰρ ἅπαν μὲν ὑπανέῳξε στόμα ταυτὶ εἰς προῦπτον ἀνελιττόμενα καὶ χείλη μεμυκότα κεκίνηκε καὶ γλῶτταν πᾶσαν περιενεύρωσε πρὸς εὐφημίαν καὶ ἐπαίνους μακροὺς σοῦ τοῦ κορυφαιοτάτου καὶ παγκοσμίου λσμπτῆρος ἡμῶν, τοιαῦτα πατρικῶς τε καὶ ἀρχικῶς ἐξ ἀπείρων διαστημάτων κατηχοῦντος καὶ κοινῇ πάντας ὑπαλείφοντος, ἐπί τε τὰ ἀμείνω χειραγωγοῦντος καὶ μὴ ὅτι γε πόρρω που τετειχίσμεθα διά τε γῆς καὶ θαλάττης, ἀμελητέον ἡμῶν, ἀλλ' ὅτι ταῦθ' οὕτως ἔχει, οὐχ ἥκιστα φροντιστέον. Ἀμέλει καὶ τοιαύτης γεωργίας ἀεὶ χρῄζομεν τῆς τ' ἐπιρ-
Φ. 30ᵃ ροίας τῆς (2) ἐκ τοιούτων ναμάτων | ὁσημέραν δεόμεθα διὰ σοῦ τοῦ παγκοσμίου γεωργοῦ καὶ καθηγητοῦ. Ἐνδεῖ γὰρ θείου σπόρου τῷ τοῦ κυρίου λαῷ, Παναγιώτατε Δέσποτα, καὶ οὐχ ἧττον τοιούτου καὶ παρὰ τοιούτου, τῶν ἀκανθῶν ἐκ ραστώνης ἐνδελεχῶς ὑποτρεφομένων καὶ ἀνεπαισθήτως οἷον εἰπεῖν ἐκ νωθείας ἡμῶν ἀποδενδρουμένων. Τῷ τοι καὶ πρὸς γεωργίαν τῶν βελτιόνων τῷ τῶν πανσεβασμίων ὑποθηκῶν σου θείῳ ἀρότρῳ διηνεκῶς μετασκευάζειν ἡμᾶς καὶ μεταλλοιοῦν μὴ ἐλλίπῃς, κηδόμενος καὶ ἡμῶν τῆς ἐπὶ τὰ κρείττω μυστικῆς ἐπιδόσεως, ὑπὸ τοσούτων σκύμνων βαρβαρικῶν ἀεὶ περιστοιχιζομένων καὶ φοβερῶς κυκλουμένων. Ἐπεὶ δὲ καὶ παρὰ τῶν θεσπεσίων κανόνων αἰεὶ προτρεπόμεθα ἐν προθεσμίαις ἀνυπερθέτως ρηταῖς ἀναδραμεῖν καὶ δουλοπρεπῶς ἀπαντῆσαι εἰς προσκύνησιν τῆς σῆς μεγαλοπρεποῦς Παναγιότητος, ἀκοῦσαί τε αὐδῆς μακαρίας ἐκείνης καὶ μυστικῆς ἀξιωθῆναι ὁμιλίας, ἀποδοῦναί τε ἀξιοχρέως τὰ ὀφειλόμενα καὶ ἀντιλαμβάνειν τὰ θεοφιλῆ καὶ σωτήρια, οὐ μετρίως ἄρ' ἀνιώμεθα,

---

(1) χριστωνύμου] χρηστωνύμου. (2) τῆς] τῶν.

ὅτι διὰ τοσούτων κωλυόμεθα (1)· πάμπολλα γὰρ τὰ ἡμῖν ἐπιφυόμενα
σκῶλα καὶ ἱστάμενα ἐμποδών, Θεοτίμητε καὶ Παναγιώτατε Δέσποτα,
ὑφ' ὧν μὲν οὐδὲ τῆς αὐλείου (2) προκῦψαι δυνάμεθα. Τὸ δ' ἐν πᾶσιν
ὑπερέχον κακὸν αἵ τε κατὰ θάλατταν | συνεχεῖς πεφύκασι τῶν Φ. 31α
πειρατῶν ἐκδρομαί, αἵ τε πρὸς αὐτοῦ τοῦ γήρως ποικίλαι ἀσθέ-
νειαι, πρὸς οἷς ἥ τε δολιχὸς καὶ διαπόντιος κέλευθος, τό γε διὰ μέσου
μυρίων φόβων πλῆρες διάστημα, ὑφ' ὧν γε ἡμεῖς περιδεεῖς τε καὶ
ἀνατεταραγμένοι τὴν τῆς σχετλίου ἡμῶν βιοτῆς διανηχόμεθα θάλατταν,
ᾗ γαλήνην λευκήν τε καὶ ἔμμονον παράσχοι ὁ Κύριος, σαῖς παγκο-
σμίαις καὶ θεοπειθέσιν ἐντεύξεσιν, ἵλεως τε καὶ εὐμενὴς γένοιτο παντὶ
τῷ χριστωνύμῳ λαῷ.

(ἄνευ τίτλου)

Ἐνίων μὲν καθ' ἑκάστην παρεμπιπτουσῶν ὑποθέσεων, ἀμελεῖται Ι'.
καὶ νῦν, ὡς ὁρᾷς, Στρατηγικώτατέ μοι, ἡ τῶν ἐπισήμων Χριστοῦ ἀθλη-
τῶν θεία πανήγυρις, ἣν καὶ αὖθις ἐπαναζεύξαντός σου ὡς ἡμᾶς πανη-
γυρίζειν προσεδοκῶμεν. Ταύτῃ τοι καὶ τῷ καλλίστῳ πρωτονοταρίῳ τῷ
τὰ σὰ καὶ μᾶλλον καθάπαξ ἀποσεμνύνοντι καὶ εὐλόγως θαυμάζοντι
τὴν ἐπιστολὴν ἐνεχείρισα. Σὺ δὲ θαυμάσιε, καὶ ἄσμενος τὴν ἐπιστολὴν
δέδεξο καὶ τῆς ἑορτῆς, ὡς εἰκός, μέμνησο, τόν τε γράφοντα ὑπαλεί-
φοντά (3) σου τὸ πρόθυμον ἐπὶ τὰ τοιαῦτα θεοφιλῆ ἔργα μὴ ἀπαξιώ-
σαις (4) ὑπὲρ ἀγαθοῦ ξυμβουλεύοντα. Οἶδα γὰρ οἶδα καὶ αὐτὸς ὡς
τὰ τῆς ἀδείας σοι οὐκ εὐχερῶς ἀπαντᾷ | καὶ βουλομένῳ δια- Φ. 31β
πρᾶξαί τι τῶν εὐαγῶν, ἀκτορικαῖς ὁσημέραι, οἷον φάναι, φροντίσιν
ἀπειλημμένῳ. Ἀλλὰ νικάτω ὁ πόθος ἐκεῖνος διηνεκῶς, ὃν τρέφεις
ἐγκάρδιον ὑπὲρ τῶν φερωνύμων φημὶ τοῦ Χριστοῦ ἀθλητῶν. Ἐκεῖνοι
γάρ σε καὶ ἐπὶ χειρῶν ἀροῦσι καὶ πρὸς λίθον τὸν πόδα σου οὐκ ἐῶσι
προσκόψαι, ἀπό τε βέλους πετομένου ἡμέρας, ἔκ τε δαιμονίου μεσημ-
βρινοῦ κρείττω τηρῶσι καὶ ἀσινῆ, τὰ ἀντίρροπα καὶ οὗτοι τῶν σῶν
πρὸς αὐτοὺς φιλοτιμημάτων ἀποχρώντως (5) ἀνταμειβόμενοι.

Ἄλλο.

Τῷ τῶν νηστίμων ἡμερῶν ἀνειδεῖ τε καὶ σκυθρωπῷ, Σεβασμιώ- Α'.
τατε Δέσποτα, καὶ τὸ τοῦ νῦν καιροῦ τραχύ τε καὶ ἄγριον ἀνωμάλως
ἐπιμιγὲν πάντας οἴκοι μένειν ἀναγκαίως ἠνάγκασεν, οἷς δ' οὐδ' ἀν-
τισχεῖν δυνηθέντες καὶ ἡμεῖς τὴν καλύβην τῶν ἔξω πάντων ἠλλάξαμεν

(1) κωλυόμεθα]κολυόμεθα. (2) αὐλείου]αὐλίου (3) ὑπαλείφοντα]ὑπαλείφοντι.
(4) ἀπαξιώσαις] ἀπαξιώσαιο. (5) ἀποχρώντως] ἀποχρῶντος.

καὶ πέντε σισύραις ἐγκεκορδυλημένοι καθήμεθα ταῖς τῶν φίλων μνήμαις καὶ μόνον ἐναβρυνόμενοι τήν τε λύσιν τῶν νῦν δυσχερῶν προσδοκῶντες ἰδεῖν ἄσμενοι. Ἀλλὰ πέπεικε (1) μὴν ἡμᾶς ὑπερφρονεῖν τούτων ἥ τε (2) πάτριος θεία παράδοσις τῶν σεβασμίων ἡμερῶν
Φ. 32ᵃ | τουτωνί, ὅ θ' ἱπποκράτειος (3) νόμος, ὅς ταῖς σωματικαῖς μὲν ἐπαμύνων ἀσθενείαις λογικῶς ὑποτίθεται. Ταύτῃ τοι ὑπ' ἀμφοῖν ἐπισχεθέντες, οὐ διέβημεν πρὸς σὲ τὸν ποθούμενον, ὡς ἂν τὰ μάλιστα ὁμιλοῦντες (4) τοῦ σίμβλου τῆς σῆς ἱερᾶς ξυναυλίας ἡδέως ἐπληρούμεθα.

Ἐντεῦθεν καὶ συγγνωμονῶν εἶης ἡμῖν δι' ἀμφότερα καὶ εὔξαιο μᾶλλον τῶν ἀποθυμίων ἔξω γενέσθαι ἡμᾶς, καιροῦ λαβόντας καὶ διηγουμένους ἐκεῖνα, ὑφ' ὧν ἀδοκήτως ταῦτα πεπόνθαμεν.

Τῷ Πρωτονοταρίῳ ὁ Χιονιάδης.

ΙΒ'. Αἰσχύνη μοι ἐκτόπως καὶ δυσχεραίνοντι λαλεῖν καὶ μὴ λαλεῖν ἆρα χαλεπώτερον τὸ δεινόν· ἡ γὰρ ἔνδεια τῶν ἀπαραιτήτων ὥσπερ ἀπαραίτητος δήμιος ἤδη μοι σοβαρῶς ἐπιφύεται καὶ σφοδρῶς ἀντιφέρεται καὶ μὴ λαλοῦντι. Τό γε τῆς καρτερίας πολὺ ἀποκρούεται καὶ τρόπον τινὰ ὡς ὁρᾷς, ἀγχινούστατε, καὶ λάλους ἡμᾶς ἀπεργάζεται καὶ φορτικοὺς τοὺς οὕτω καρτερικούς. Κἀντεῦθεν ἡμῖν εἰ θελήσαις ἐπαμῦναι, τῷ συνήθει χρώμενος τύπῳ, ἤδη ἐπάμυνον ἐκδαπανηθεῖσι ταῖς κατὰ μικρὸν προσδοκίαις καὶ μὴ ἀναβάλοιο ἐξ ἡμέρας ἡμέραν
Φ. 32ᵝ γυμνάζων ἡμῶν τὸ στερέμνιον καὶ μὴ ἐκόντων ἐν ταῖς | οὕτως ἀήθεσι δυσχερείαις. Οἶσθα γάρ, φίλη μοι κεφαλή, ὡς ἐπὶ σοῦ καὶ μόνου ταῦτα θαρροῦντες ἐκφερομυθοῦμεν καὶ οὐκ ἐπ' ἄλλου του τῇ τῶν σῶν εὐσταθείᾳ τρόπων καὶ ἠθῶν ἐμβριθείᾳ πεποιθότες καθάπαξ. Εἰ μὴν (5) τῇ γε ἄνωθεν εἰλικρινεῖ καὶ ἀνοθεύτῳ σου διαθέσει, ἧς πεῖραν διὰ πολλῶν εἰληφὼς (6) ἐμαυτὸν ἔξω τῶν ὑποκνιζουσῶν φροντίδων τελέως κατέστησα, μὴ δυσχεραίνοντα περὶ τῶν ἐξῆς τὸ παράπαν, καὶ εἰ οὖν σώζοιτο παρὰ τῇ σῇ λογιότητι τὰ ἡμέτερα οὕτως ἀκίνητα, ὡς πάλαι καὶ νῦν, ἐπίθες τοίνυν πέρας τῇ νῦν αἰτήσει χρηστόν, ὡς ἂν μὴ εἰκῇ καὶ οὕτως ἐκδαπανηθείημεν ταῖς τῶν τοσῶνδε διαλειμμάτων ἀκαίροις . . . . (ἀναβολ)αῖς (7) ἀφορῶντες ἀεὶ πρὸς τὸ αὔριον . . . (7) οὐκ ἀγνοοῦμεν ὡς Σολομῶντι δοκεῖ.

---

(1) πέπεικε] πέποικε. (2) ἥ τε] εἴ τε. ἱπποκράτειος] ἱπποκράτιος.
(4) ὁμιλοῦντες] ὠμιλοῦντες. (5) εἰ μην] ἤ μήν.
(6) εἰληφὼς] εἴληφας. (7) ἀναβολαῖς ;] αῖς. (8) χάσμα.

(ἄνευ τίτλου).

Τὴν τῆς σῆς ἤδη φίλης ἐπιστολῆς θαυμασίαν διόπτραν, ὦ ΙΓ'.
φίλων ἄριστε καὶ ἀνδρῶν, εἰς χεῖρας ἀσμένως ἀπειληφότες καὶ ταύτην ἠρέμ' ἀπηωρηκότες καὶ ἥδιστα τὴν χρυσαυγῆ ταύτης οὐδὲν ἧττον ἀκτῖνα κατωπτρισάμεθα (1) ἐναργῶς καὶ ὅπως γε τὰ καθ' ἡμᾶς
5 | ὑπὸ σαυτῷ ἰδιοποιῇ μηδὲν τῆς πνευματικῆς ἑταιρείας προτι- Φ. 33ᵃ
μώμενος τὸ παράπαν, οἷα λόγου σύντροφος καὶ παιδείας. Οὐκοῦν μετὰ τῶν ἄλλων, ὧν ἔχεις ἐν τῇ φύσει προτερημάτων καὶ τὸ ἀποστολικὸν ἀτεχνῶς ἐκπληροῖς ἐκεῖνο, ὅ γέ φησιν: «ἡ ἀγάπη οὐ ζητεῖ τὸ ἑαυτῆς ἀλλὰ τὸ τοῦ ἑτέρου», ἧς ἕνεκά γε καὶ τ ,ν νῦν τοῦ καιροῦ δυ-
10 σκολίαν παρὰ φαῦλον τιθέμενος, τὰ ἡμέτερα τῶν ἄλλων οὐκ ἀπεικὸς προτιμᾷς, ὡς μεγαλόφρων ἀνὴρ καὶ πολλῶν ἀντάξιος ἄλλων. Ἀλλ' εἰ μὲν οἷς ἐλπίζεται γίνεται χάρις, οὐ βραχεῖά σοι πρὸς θεοῦ κείσεται κηδομένῳ καθάπαξ τοῦ φίλου, εἰ δ' ἄλλως ἁπάντων φροντίζοντι, ὅπερ ἀπεύχομαι (2), τοῦτ' ἄρα τὸ τῶν (3) ἡμετέρων ἔγκλημά
15 ἐστιν αἰτίαμα οὐ τῆς τοῦ φίλου ἐπιπόνου ἐντρεχείας καθέστηκεν.

Ἕτερον τοῦ αὐτοῦ.

Τί τοῦτο, ὦ πάντων ἀξιώτατε φίλων, ὅτι καὶ διὰ γραμμάτων ΙΔ'.
σοι πολλάκις ὁμιληκότων ἡμῶν ἐγένετο ἐξ ὧν ἐποθοῦμεν μαθεῖν οὐδέν; καὶ γὰρ ἐπόθουν διαμαθεῖν, ὅπως γε τῇ τοῦ κρείττονος ροπῇ νῦν ἔχει τὰ καθ' ὑμᾶς. Εἰ δή περ καὶ τοῦτο δι' ἐμμελείας
5 καθέστηκεν, ὥσπερ | οἶσθα καὶ ἐκ μακροῦ· οὐδὲ γὰρ ἄλλου (4) του Φ. 33ᵇ
ἐρῶμεν παρὰ (5) τοῦτο ζητοῦμεν, τῆς πάλαι σου πρὸς ἡμᾶς ἀκραιφνοῦς διαθέσεως καὶ συμπνοίας χρηστῆς, ἵν' οὕτω φαίην, ἀναμιμνησκόμενοι, δι' ὧν με καὶ μᾶλλον εἵλκες κατόπιν πολλοῦ ἀξιοῦντα τὰ σὰ καὶ κεκμήκαμεν οὕτω πονοῦντες τά γε τῶν φίλων φιλοπόνως ἀνερευ-
10 νῶντες. Ἀλλ' εἴ πού ποτε περιτυχόντες τισὶ τῶν εἰδότων ἀκριβῶς τὰ ὑμέτερα (6) οὕτω διηγουμένοις συμπίπτοντα, εὐθὺς ἀνακουφιζόμεθα

(1) κατωπτρισάμεθα] κατοπτρισάμεθα.
(2) ἀπεύχομαι] ἀπεύχωμαι. (3) τὸ τῶν] τὰ τῶν. (4) ἄλλου] ἄλλο.
(5) παρὰ] παρό. (6) ὑμέτερα] ἡμέτερα.

τοῦ βάρους τῶν λογισμῶν καὶ μικρόν ἀνακτώμεθα καὶ ψιλὰς τὰς ὑπαγορίας δεχόμενοι. Καὶ γὰρ οὖν τῶν πρώην ἐκείνων ἐπιμνησθεὶς ἡμερῶν, ἐπὶ μνήμης ἄγε τὸν φίλον τὸν σόν· τοῦτο γὰρ ποιῶν καὶ ἡμᾶς αὐτοὺς εὐφρανεῖς τὰ μέγιστα καὶ σὲ αὐτὸν ἐραστὴν ἀξιέραστον δείξεις καὶ σφόδρα μνημονικώτατον.

(ἄνευ τίτλου).

ΙΕ'. Οὐχ ὡς ἀσκληπιάδης τὴν ἀσκληπιαδῶν μετερχόμενος, ὦ φίλη μοι κεφαλή, ἀλλ' ὡς χριστιανὸς σύν τε τοῖς φαρμάκοις καὶ τὴν πρὸς θεοῦ βοήθειαν ἐκκαλούμενος· ὅλην γὰρ αὐτῷ χαριζόμενος τὴν ἀντίληψιν ὡς αἰτίῳ πάντων τῶν ἐν ἀκεσωδύνοις φαρμάκοις | ἕξεων
Φ. 34ᵃ καὶ δυνάμεων, ὡς δῆλον ἐντεῦθεν παρασκευάσαι πάντας πεποιθέναι Θεῷ ἥπερ τοῖς ἐξ αὐτῶν δι' αὐτοῦ ἐνεργοῦσι δυνάμεσιν. Ὄντως *ἀνὴρ ἰητρὸς πολλῶν ἀντάξιος ὀλλων*, ὃς οὐ ζητεῖ τὸ ἑαυτοῦ ποτε ἀλλὰ τὸ τοῦ ἑτέρου διὰ τὸ ἀφιλόνεικον καὶ ἐν πᾶσιν ἀκενόδοξον. Ἀλλὰ τόσον ἔφθης γενέσθαι γλυκύς, ὡς πάντας πρὸς ἑαυτὸν ἕλκεις, οἷα θήλεια λίθος τὸν ἐν ὕλαις στερρότερον (1) καὶ ὡς πῦρ τῶν κάτω καὶ βαρέων τὴν κούφην ἀτμίδα, ὡς ἀναζωπυροῦν καὶ ἀναθερμαῖνον ἡμᾶς καὶ πόρρωθεν· τῷ πυρσῷ τῆς σῆς φίλης ἀγάπης, ἀλλὰ καὶ ἐν αὐτῇ ἐξαπτόμεθα, (2) ὡς ἄν τις φαίη σιδήρια, κἂν ἡμεῖς βαρεῖς ὄντες καὶ ῥάθυμοι. Πλὴν τῇ βιαίᾳ ῥύμῃ τῆς ἀδιακρίτου σου κατὰ θεὸν πρὸς πάντας ἀγάπης τῆσδε οὐκ ἀφιστάμεθα.

Ἔρρωσο ἐν ἁγίῳ Θεῷ, ὁ γλυκὺς Ἰωάννης, τὸ παρὰ πᾶσι θυμῆρες καὶ ἐπέραστον ὄνομα.

---

(1) στερρότερον] στερότερον.

(2) ἐξαπτόμεθα] ἐξ ἁπτώμεθα.

Ἐπιστολὴ
ἀπὸ Κωνσταντινουπόλεως πρὸς τὰ παρόντα δεινά.

Ἰδοὺ κατὰ τὴν ὑπόσχεσιν ἀνδρῶς δηλοῦμεν τῇ ἁγιωσύνῃ σου τὰ ἐνταῦθα συμβάντα, πατέρων ὑπέρτιμε· | οἴχεται (1) τὰ τῆς εἰρήνης τῆς ἐν Θεῷ, τὸ στασιῶδες εἰσέφρησε καὶ πολέμιον, ἔσβη τὰ καλά, γυμνὰ τὰ κακά. Τὰ τῆς ἐκκλησίας δεινά, τὰ τῶν πολεμίων δεινότερα, τὰ τῶν μιγάδων πικρότατα, τὰ τῶν μοναστῶν ἀλγεινότατα. Στενὰ τῷ δήμῳ πανταχόθεν τὰ πράγματα. Ἐπὶ οὐαὶ παπαῖ μοί ἐστιν. Οὐαί! καὶ ἀνομία ἐπ' ἀνομίαν. Τὰ πάντα θρῆνοι (2), ἐν πάσαις ταῖς πλατείαις κραυγαὶ (3), ἅπας οἶκος κλονεῖται, πᾶσα ἡ πόλις δονεῖται, πᾶσα ψυχὴ φιλόθεος ἀμαλδύνεται· Χριστὸς καθεύδει, ὁ ἀντικείμενος γρηγορεῖ καί, ἁπλῶς εἰπεῖν, τὰ ἄνω κάτω γεγόνασιν Θεοῦ ἀνοχῇ. Σὺ δ' ὡς δυνατὸς ἀφορῶν εὔχου, ὅτι πρὸς κατάπτωσιν ἀφορῶσι τὰ τῆς ἡμετέρας αὐλῆς, ἧς ἄρχει Χριστός, ὁ ἐν μακροθυμίᾳ ἀνείκαστος, ὃς καὶ χαρίσαιτό μοι τὰς σὰς ἁγίας εὐχὰς αἰῶνι παντί. Ις'. Φ. 34[b]

(1) οἴχεται] οἴχει.
(2) θρῆνοι] θρηνόν.
(3) κραυγαὶ] κραυγῇ.

ΣΗΜΕΙΩΣΕΙΣ

Ἡ ἐπισκοπὴ Ταυρὲζ. Ἡ ἐπισκοπὴ Ταυρὲζ ταυτίζεται μὲ τὴν ἐπισκοπὴν Δάρας, ἥτις ἄλλοτε περιλαμβανομένη ἐν τοῖς ὁρίοις τοῦ κράτους ἀνῆκεν εἰς τὴν ἐπαρχίαν Μεσοποταμίας. Ἐν τοῖς παλαιοῖς *τακτικοῖς* γίνεται περὶ τῆς πόλεως ταύτης ἡ ἑξῆς μνεία: «Δάρας ἀπὸ ἓξ μίλλια τῆς αὐτῆς πόλεώς εἰσι τὰ μεθόρια καὶ ὅροι Περσίδος καὶ Ἀσσυρίας». Ἐν δὲ τοῖς νεωτέροις *τακτικοῖς* βλέπομεν τὰ ἑξῆς: «Δάρας τὸ νῦν Ταῦρεζ». Βλέπε Gustave Parthey Hieroclis Synecdemus, Βερολῖνον, 1866 σελ. 88.

Μετὰ τὴν ἀπώλειαν τῆς πόλεως φαίνεται ὅτι ἡ περὶ ἧς ὁ λόγος ἐπισκοπὴ καταργηθεῖσα ἀνασυνεστάθη ἐπὶ τῶν Μογκόλων τῆς Περσίας δυναστῶν.

Ἡ Θ' Ἐπιστολὴ μᾶς δεικνύει σαφῶς ὅτι ἐπὶ τῶν ἡμερῶν τοῦ Χιονιάδου τοὐλάχιστον ἡ κατάστασις τῶν ἐκεῖ χριστιανῶν δὲν ἦτο καὶ πολὺ εὐχάριστος.

Ἡ μακεδονικὴ τοῦ Χιονιάδου καταγωγή. Τὰ παρὰ Τρ. Εὐαγγελίδῃ ἔνθ' ἀνωτέρω σ. 3 περὶ τῆς μακεδονικῆς τοῦ Χιονιάδου καταγωγῆς προέρχονται ἐκ τυπογραφικοῦ παραπλάματος τῆς σελ. VIII τοῦ Fontes . . . τοῦ Παπαδοπούλου Κεραμέως.

Ἡ σύνταξις τοῦ χωρίου 19—24 τῆς Α' Ἐπιστολῆς εὐοδοῦται, ἂν ἀφαιρεθῇ τὸ «ἀλλά».

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Πρόλογος . . . . . Σελ. 1

ΜΕΡΟΣ Α'

Ἡ Ἀκαδημία θετικῶν Ἐπιστημῶν τῆς Τραπεζοῦντος.

Ἡ Τραπεζοῦς κέντρον φυσικομαθηματικῶν σπουδῶν . . . . » 3
Ἡ Ἀκαδημία Τραπεζοῦντος πρὸ τοῦ 1204 . . . . . » 5
Ἡ Ἀκαδημία ἐπὶ τῶν Μεγαλοκομνηνῶν (1204—1461) . . . » 8
Ποῖοι ἐδίδαξαν ἐν τῇ Ἀκαδημίᾳ Τραπεζοῦντος . . . . . » 11
Ποῦ ἐλειτούργει ἡ Ἀκαδημία . . . . . » 14
Τὸ Ἀστεροσκοπεῖον τῆς Ἀκαδημίας . . . . . » 17

ΜΕΡΟΣ Β'

Γρηγόριος ὁ Χιονιάδης καὶ αἱ ἐπιστολαὶ αὐτοῦ.

Ἡ παράδοσις τοῦ κειμένου . . . . . » 20
Γρηγόρ. ὁ Χιονιάδης καὶ τὸ περιεχόμενον τῶν ἐπιστολῶν αὐτοῦ » 22
Ἡ χρονολογία τῶν ἐπιστολῶν τοῦ Χιονιάδου . . . . . » 26
Τὸ ὕφος τοῦ συγγραφέως . . . . . » 27
Ἡ γλῶσσα τοῦ Χιονιάδου . . . . . » 29
Παρατηρήσεις ἐπὶ τοῦ λεκτικοῦ τοῦ Χιονιάδου . . . . . » 30
Κύρια ὀνόματα. Δερμοκαΐται, Ἰωάννης Γλυκὺς . . . . . » 33
Φράσεις ἐκ τῶν θύραθεν συγγραφέων καὶ χωρία ἐκ τῆς Ἁγίας Γραφῆς . . . . . » 34
Ἕτερα ἔργου τοῦ Γρηγορίου Χιονιάδου. Θουκυδίδης προερχόμενος ἐκ τῆς βιβλιοθήκης του . . . . . » 35
Περίληψις τοῦ περιεχομένου ἑκάστης τῶν Ἐπιστολῶν τοῦ Χιονιάδου . . . . . » 35
Προγενέστεραι ἐκδόσεις τῶν Ἐπιστολῶν τοῦ Χιονιάδου . . . » 37

ΜΕΡΟΣ Γ'

Τὸ κείμενον τῶν Ἐπιστολῶν τοῦ Γρηγορίου Χιονιάδου . . . » 39
Σημειώσεις . . . . . » 54